# ΕΥΡΙΠΙΔΟΥ
# ΗΡΑΚΛΗΣ

Desunt versus manu scripti. Hic exponitur structura metrorum.

δ=Dochmius: ⨯ ⏕ —/|x⊣

Πρόλογος 1–106 Iambi trimetri

## ΠΑΡΟΔΟΣ

### ΣΤΡΟΦΗ

Trini iambi

**ΧΟΡΟΣ**

— Ja.+ ὑπώροφα μέλαθρα καὶ
γεραιὰ δέμνι', ἀμφὶ βάκτροις δ
ἔρεισμα θέμενος, ἐστάλην
ἰηλέμων γόων ἀοι-
δὸς ὥστε πολιὸς ὄρνις,
ἔπεα μόνον καὶ δόκημα δ
νυκτερωπὸν ἐννύχων ὀνείρων,
τρομερὰ μέν, ἀλλ' ὅμως πρόθυμ', ὦ δ
τέκεα, τέκεα πατρὸς ἀπάτορ', ὦ
γεραιέ σύ τε τάλαινα μᾶτερ, δ + Ja.
ἃ τὸν Ἀίδα δόμοις πόσιν δ
ἀναστενάζεις. δ+Ja.

ΑΝΤΙΣΤΡΟΦΗ (?) Responsio dubia

— Ja.+ μὴ προκάμητε πόδα βαρύ τε
κῶλον ὥστε πρὸς πετραῖον δ

λέπας †ζυγηφόρον πῶλον ἀν-
έντες ὡς βάρος φέρον ?
τροχηλάτοιο πώλου †.
λαβοῦ χερῶν καὶ πέπλων,
ὅτου λέλοιπε ποδὸς ἀμαυρὸν ἴχνος·
γέρων γέροντα παρακόμιζ', 125
ὦ ξύνοπλα δόρατα νέα νέῳ 127
τὸ πάρος ἐν ἥλίκων πόνοις δ + Ja. 126
ξυνῆν ποτ', εὐκλεεστάτας πατρίδος
οὐκ ὀνείδη.

ΕΠΩΙΔΟΣ

Trini iambi

ἴδετε, πατέρος ὡς γορ- 130
-γῶπες αἵδε προσφερεῖς
ὀμμάτων αὐγαί,
τὸ δὲ κακοτυχὲς οὐ λέλοιπεν ἐκ τέκνων
οὐδ' ἀποίχεται χάρις. δ + Ja.
Ἑλλὰς ὦ ξυμμάχους 135
οἵους οἵους ὀλέσα-
σα τούσδ' ἀποστερήσῃ. δ + Ja.

## Ἐπεισόδιον α

138–347 Iambi trimetri

# ΣΤΑΣΙΜΟΝ Α

Quaterni iambi

382, 396 Septeni anapaesti recitati

Aeolici: oo — ⏔ — ⏑ — ⟨x⟩*

Responsio libera

ΣΤΡΟΦΗ Α

Χο. — 2Ja+ αἲ Λίνον μὲν ἐπ' εὐτυχεῖ
μολπᾷ Φοῖβος ἰαχεῖ
τὸν κάλλει φθιτόν, κιθάραν
ἐλαύνων πλήκτρῳ χρυσέῳ· +Ja.
Ja. + ἐγὼ δὲ τὸν γᾶς ἐνέρων τ'
ἐς ὄρφναν μολόντα, παῖδ'
εἴτε Διός νιν εἴπω, +Ja.
εἴτ' Ἀμφιτρύωνος ἶνιν, +Ja.
ὑμνῆσαι στεφάνωμα μό-
χθων δι' εὐλογίας θέλω.
γενναίων δ' ἀρεταὶ πόνων
τοῖς θανοῦσιν ἄγαλμα.

ΜΕΣΩΙΔΟΣ

— πρῶτον μὲν Διὸς ἄλσος
ἠρήμωσε λέοντος,
πυρσῷ δ' ἀμφεκαλύφθη
ξανθὸν κρᾶτ' ἐπινωτίσας
δεινῷ χάσματι θηρός·

ΑΝΤΙΣΤΡΟΦΗ Α

— 2Ja+ τάν τ' ὀρεινόμον ἀγρίων
Κενταύρων ποτὲ γένναν

ἔστρωσεν τόξοις φονίοις,
ἐναίρων πτανοῖς βέλεσιν. +Ja.
Ja.+ ξύνοιδε Πηνειὸς ὁ καλ-
λιδίνας μακραί τ' ἄρου-
ραι πεδίων ἄκαρποι +Ja.
καὶ Πηλιάδες θεράπναι +Ja.
σύγχορτοί τ' Ὁμόλας ἔναυ-
λοι, πεύκαισιν ὅθεν χέρας
πληροῦντες χθόνα Θεσσαλῶν
ἱππείαις ἐδάμαζον·

ΕΠΩΙΔΟΣ

τάν τε χρυσοκάρανον
δόρκαν ποικιλόνωτον
συλήτειραν ἀγρωστᾶν
κτείνας, θηροφόνον θεὰν
Οἰνωᾶτιν ἀγάλλει·

ΣΤΡΟΦΗ Β

τεθρίππων τ' ἐπέβα [στρ.
καὶ ψαλίοις ἐδάμασε πώλους 381
382 Διομήδεος, αἳ φονίαισι φάτναις ἀχάλιν' ἐθόα-
ζον κάθαιμα σῖτα γένυσι,
χαρμοναῖσιν ἀνδροβρῶσι

δυστράπεζοι· πέραν δ'
ἀργυρορρύτων Ἕβρου
διεπέρασεν ὄχθων, Μυκηναίῳ
πονῶν τυράννῳ.

ΜΕΣΩΙΔΟΣ

ἄν τε Πηλιάδ' ἀκτὰν
Ἀναύρου παρὰ πηγὰς
Κύκνον ξεινοδαΐκταν
τόξοις ὤλεσεν, Ἀμφαναί-
ας οἰκήτορ' ἄμεικτον·

ΑΝΤΙΣΤΡΟΦΗ Β

ὑμνῳδούς τε κόρας [ἀντ.
ἤλυθεν ἑσπέριον ἐς αὐλάν,
χρυσέων πετάλων ἄπο μηλοφόρον χερὶ καρπὸν ἀμέρ-
ξων, δράκοντα πυρσόνωτον,
ὅς ⟨σφ'⟩ ἄπλατον ἀμφελικτὸς
ἕλικ' ἐφρούρει, κτανών·
ποντίας θ' ἁλὸς μυχοὺς
εἰσέβαινε, θνατοῖς γαλανείας
τιθεὶς ἐρετμοῖς·

ΕΠΩΙΔΟΣ

οὐρανοῦ θ' ὑπὸ μέσσαν
ἐλαύνει χέρας ἕδραν,

Ἄτλαντος δόμον ἐλθών,
ἀστρωποὺς τε κατέσχεν οἰ-
κους εὐανορίᾳ θεῶν·

ΣΤΡΟΦΗ Γ

τὸν ἱππευτάν τ' Ἀμαζό-
νων στρατὸν Μαιῶτιν ἀμφὶ πο-
λυπόταμον ἔβα δι' Ἄ-
ξεινον οἶδμα λίμνας,
τίν' οὐκ ἀφ' Ἑλλανίας
ἄγορον ἁλίσας φίλων,
†κόρας Ἀρείας πέπλων
χρυσεόστολον φάρος, †
ζωστῆρος ὀλεθρίους ἄγρας.
τὰ κλεινὰ δ' Ἑλλὰς ἔλαβε βαρ-
βάρου κόρας λάφυρα, καὶ
σῴζεται Μυκήναις. + 3 ia.

ΜΕΣΩΙΔΟΣ *

τάν τε μυριόκρανον
πολύφονον κύνα Λέρνας
ὕδραν ἐξεπύρωσεν,
βέλεσί τ' ἀμφέβαλ' ⟨τόν⟩,
τὸν τρισώματον οἷσιν ἔκτα
βοτῆρ' Ἐρυθείας.

## ΑΝΤΙΣΤΡΟΦΗ Γ

δρόμων τ' ἄλλων ἀγάλματ'
εὐτυχῆ διῆλθε· τόν τε πο-
λυδάκρυον ἔπλευσ' ἐς Ἅι-
δαν, πόνων τελευτάν,
ἵν' ἐκπεραίνει τάλας
βίοτον, οὐδ' ἔβα πάλιν.
στέγαι δ' ἔρημοι φίλων,
τὰν δ' ἀνόστιμον τέκνων
Χάρωνος ἐπιμένει πλάτα βίου κέλευθον
ἄθεον ἄδικον·
ἐς δὲ σὰς χέρας βλέπει
δώματ' οὐ παρόντος. + 3 Ja.

## ΕΠΩΙΔΟΣ

εἰ δ' ἐγὼ σθένος ἥβων
δόρυ τ' ἔπαλλον ἐν αἰχμᾷ,
Καδμείων τε σύνηβοι,
τέκεσιν ἂν προπαρέσταν
ἀλκᾷ· νῦν δ' ἀπολείπομαι
τᾶς εὐδαίμονος ἥβας.

## Ἐπεισόδιον β

442 — 450 Quaterni anapaesti recitati
451 — 636 Iambi trimetri

# ΣΤΑΣΙΜΟΝ Β

## ΣΤΡΟΦΗ Α

Aeolici

ἁ νεότας μοι φίλον αἰ-
εί· τὸ δὲ γῆρας ἄχθος
βαρύτερον Αἴτνας σκοπέλων ἐπὶ
κρατὶ κεῖται, βλεφάρων
σκοτεινὸν φάος ἐπικαλύψαν.
μή μοι μήτ' Ἀσιήτιδος
τυραννίδος ὄλβος εἴη,
μὴ χρυσοῦ δώματα πλήρη
τᾶς ἥβας ἀντιλαβεῖν,
ἃ καλλίστα μὲν ἐν ὄλβῳ,
καλλίστα δ' ἐν πενίᾳ.
τὸ δὲ λυγρὸν φόνιόν τε γῆρας
μισῶ· κατὰ κυμάτων
ἐρρέτω, μηδέ ποτ' ὤφελεν
θνατῶν δώματα καὶ πόλεις
ἐλθεῖν, ἀλλὰ κατ' αἰθέρ' αἰεὶ
πτεροῖσι φορείσθω.

## ΑΝΤΙΣΤΡΟΦΗ Α

Responsio libera; * non respon-
-dent

εἰ δὲ θεοῖς ἦν ξύνεσις
καὶ σοφία κατ' ἄνδρας,
δίδυμον ἂν ἥβαν ἔφερον ὅσοισιν *

φανερὸν χαρακτῆρ' ἀρετᾶς
μέτα, κατθανόντες τ'
εἰς αὐγὰς πάλιν ἁλίου
δισσοὺς ἂν ἔβαν διαύλους,
ἁ δυσγένεια δ' ἁπλοῦν ἂν
εἶχεν ζόας βίοτον,
καὶ τῷδ' ἦν τούς τε κακοὺς ἂν
γνῶναι καὶ τοὺς ἀγαθούς,
ἴσον ἅτ' ἐν νεφέλαισιν ἄστρων
ναύταις ἀριθμὸς πέλει.
νῦν δ' οὐδεὶς ὅρος ἐκ θεῶν
χρηστοῖς οὐδὲ κακοῖς σαφής,
ἀλλ' εἱλισσόμενός τις αἰὼν
πλοῦτον μόνον αὔξει.

## ΣΤΡΟΦΗ Β

Metrum idem

οὐ παύσομαι τὰς Χάριτας
Μούσαις συγκαταμειγνύς,
ἁδίσταν συζυγίαν.
μὴ ζώην μετ' ἀμουσίας,
αἰεὶ δ' ἐν στεφάνοισιν εἴην·
ἔτι τοι γέρων
ἀοιδὸς κελαδεῖ

Μναμοσύναν· ἔτι τὰν Ἡρακλέους
καλλίνικον ἀείδω
παρά τε Βρόμιον οἰνοδόταν
παρά τε χέλυος ἑπτατόνου
μολπὰν καὶ Λίβυν αὐλόν·
οὔπω καταπαύσομεν
Μούσας, αἵ μ' ἐχόρευσαν.

ΑΝΤΙΣΤΡΟΦΗ Β

παιᾶνα μὲν Δηλιάδες
ὑμνοῦσ' ἀμφὶ πύλας τὸν
Λατοῦς εὔπαιδα γόνον
εἱλίσσουσαι καλλίχορον·
— παιᾶνας δ' ἐπὶ σοῖς μελάθροις
κύκνος ὣς γέρων —
ἀοιδὸς πολιᾶν
ἐκ γενύων κελαδήσω· τὸ γὰρ
εὖ τοῖς ὕμνοισιν ὑπάρχει·
Διὸς ὁ παῖς· τᾶς δ' εὐγενίας
πλέον ὑπερβάλλων ⟨ἀρετᾷ⟩
μοχθήσας τὸν ἄκυμον
θῆκεν βίοτον βροτοῖς
πέρσας δείματα θηρῶν.

## Ἐπεισόδιον γ

701—733 Iambi trimetri

## ΑΜΟΙΒΑΙΟΝ

Trini iambi cantati et iambi trimetri

**Χο.** ΣΤΡΟΦΗ

— μεταβολὰ κακῶν· μέγας ὁ πρόσθ' ἄναξ
πάλιν ὑποστρέφει βίοτον ἐξ Ἅιδα.
Ja.+ἰώ·
δίκα καὶ θεῶν παλίρρους πότμος. δ + Ja.

— ἦλθες χρόνῳ μὲν οὗ δίκην δώσεις θανών,
ὕβρεις ὑβρίζων εἰς ἀμείνονας σέθεν.

ΜΕΣΩΙΔΟΣ

— Ja.+χαρμοναὶ δακρύων ἔδοσαν ἐκβολάς·
πάλιν ἔμολεν— δ
ἃ πάρος οὔποτε διὰ φρενὸς ἤλπισ' ἂν
παθεῖν—γᾶς ἄναξ. δ+Ja.

— ἀλλ', ὦ γεραιοί, καὶ τὰ δωμάτων ἔσω
σκοπῶμεν, εἰ πράσσει τις ὡς ἐγὼ θέλω.

**Λυ.** ἰώ μοί μοι.
extra metrum ? ΑΝΤΙΣΤΡΟΦΗ

— τόδε κατάρχεται μέλος ἐμοὶ κλύειν
φίλιον ἐν δόμοις· θάνατος οὐ πόρσω.
Ja.+βοᾷ
φόνου φροίμιον στενάζων ἄναξ. δ +Ja.

**Λυ.** ὦ πᾶσα Κάδμου γαῖ', ἀπόλλυμαι δόλῳ.
— καὶ γὰρ διώλλυς· ἀντίποινα δ' ἐκτίνων

τόλμα, διδούς γε τῶν δεδραμένων δίκην.

ΕΠΩΙΔΟΣ

— Ja.+τίς ὁ θεοὺς ἀνομίᾳ χραίνων, θνητὸς ὤν,
ἄφρονα λόγον
οὐρανίων μακάρων κατέβαλ', ὡς ἄρ' οὐ
σθένουσιν θεοί; + Ja.

— γέροντες, οὐκέτ' ἔστι δυσσεβὴς ἀνήρ.
— σιγᾷ μέλαθρα· πρὸς χοροὺς τραπώμεθα.
— φίλοι γὰρ εὐτυχοῦσιν οὓς ἐγὼ θέλω.

## ΣΤΑΣΙΜΟΝ Γ

ΣΤΡΟΦΗ Α

Quaterni iambi

— 3 Ja.+χοροὶ χοροὶ
καὶ θαλίαι μέλουσι Θή-
βας ἱερὸν κατ' ἄστυ.
μεταλλαγαὶ γὰρ δακρύων,
μεταλλαγαὶ συντυχίας
⟨νέας⟩ ἔτεκον ἀοιδάς. + 2 Ja.
Ja.+ βέβακ' ἄναξ ὁ καινός, ὁ δὲ παλαίτερος
κρατεῖ, λιμένα λιπών γε τὸν Ἀχερόντιον. + Ja.
δοκημάτων
ἐκτὸς ἦλθεν ἐλπίς. + Ja.

ΑΝΤΙΣΤΡΟΦΗ Α

Non ad syllabam respondent 776?—778

3Ja+θεοὶ θεοὶ
τῶν ἀδίκων μέλουσι καὶ
τῶν ὁσίων ἐπάειν.
ὁ χρυσὸς ἅ τ' εὐτυχία
φρενῶν βροτοὺς ἐξάγεται,
δύνασιν ἄδικον ἐφέλκων. +2Ja.
Ja.+Χρόνου γὰρ οὔτις τὸ πάλιν εἰσορᾶν ἔτλα·
νόμον παρέμενος, ἀνομίᾳ χάριν διδοὺς +Ja.
ἔθραυσεν ὄλ-
βου κελαινὸν ἅρμα. +Ja.

ΣΤΡΟΦΗ Β

Aeolici xoox—⏑⏑—⏑—x

Ἰσμήν' ὦ στεφαναφόρει,
ξεσταί θ' ἑπταπύλου πόλεως
ἀναχορεύσατ' ἀγυιαί,
Δίρκα θ' ἁ καλλιρρέεθρος,
σύν τ' Ἀσωπιάδες κόραι,
πατρὸς ὕδωρ βᾶτε λιποῦσαι συναοιδοί,
Νύμφαι, τὸν Ἡρακλέους
καλλίνικον ἀγῶνα.
Πυθίου δενδρῶτι πέτρα,
Μουσῶν θ' Ἑλικωνιάδων
δώματ', ὦ·

## ΜΕΣΩΙΔΟΣ

Trini iambi cantati

ἤξετ' εὐγαθεῖ κελάδῳ
ἐμὰν πόλιν, ἐμὰ τείχη, +Ja.
Σπαρτῶν ἵνα γένος ἔφανε
χαλκασπίδων λόχος, ὃς γᾶν
τέκνων τέκνοις μεταμείβει,
Θήβαις ἱερὸν φῶς.

## ΑΝΤΙΣΤΡΟΦΗ Β

Liberiore responsione

ὦ λέκτρων δύο συγγενεῖς
εὐναί, θνατογενοῦς τε καὶ
Διός, ὃς ἦλθεν ἐς εὐνὰν
Νύμφας τᾶς Περσηΐδος· ὡς
πιστόν μοι τὸ παλαιὸν ἤδη
λέχος, ὦ Ζεῦ, σὸν ἐπ' οὐκ ἐλπίδι φάνθη,
λαμπρὰν δ' ἔδειξ' ὁ χρόνος
τὰν Ἡρακλέος ἀλκάν·
γᾶς ὃς ἐξέβα θαλάμων,
Πλούτωνος δῶμα λιπὼν
νέρτερον.

## ΕΠΩΙΔΟΣ

Trini iambi cantati

κρείσσων μοι τύραννος ἔφυς
ἢ δυσγενεῖ ἀνάκτων,

ἃ νῦν ἐσορᾶν ἔφανε δY
ξιφηφόρων ἐς ἀγώνων
ἅμιλλαν, εἰ τὸ δίκαιον
θεοῖς ἔτ' ἀρέσκει. δ

ἔα ἔα· extra metrum ? Iambi trimetri rec.:
ἆρ' ἐς τὸν αὐτὸν πίτυλον ἥκομεν φόβου,
γέροντες, οἷον φάσμ' ὑπὲρ δόμων ὁρῶ;

φυγῇ φυγῇ extra metrum
νωθὲς πέδαιρε κῶλον, ἐκποδὼν ἔλα.

ὦναξ Παιάν,
ἀπότροπος γένοιό μοι πημάτων δ +Ja.Y

822—854 Iambi trimetri
855 – 873 Quaterni trochaei

## ΣΤΑΣΙΜΟΝ Δ (?)

Trini iambi et seni anapaesti cantati

ὀτοτοτοτοτοτοῖ, στέναξον· ἀποκείρεται Y
σὸν ἄνθος πόλεος, ὁ Διὸς ἔκγονος· Y
Ja+μέλεος Ἑλλάς, ἃ τὸν εὐεργέταν
ἀποβαλεῖς, ὀλεῖς μανίαισιν Λύσσας +Ja.Y
χορευθέντ' ἐναύλοις. +Ja.Y

— βέβακεν ἐν δίφροισιν ἁ πολύστονος, Y
ἅρμασι δ' ἐνδίδωσι
κέντρον ὡς ἐπὶ λώβᾳ
Νυκτὸς Γοργὼν ἑκατογκεφάλοις
ὄφεων ἰαχήμασι, Λύσσα μαρμαρωπός. + Ja. Y

— ταχὺ τὸν εὐτυχῆ μετέβαλεν δαίμων, Y
ταχὺ δὲ πρὸς πατρὸς τέκν' ἐκπνεύσεται. Y

## ΚΟΜΜΟΣ

Trini iambi et seni anapaesti et quini (?) dactyli et iambi trimetri

Ja.+
Αμ. ⟨ἔσωθεν⟩ ἰώ μοι μέλεος.

Χο. — ἰὼ Ζεῦ, τὸ σὸν γένος ἄγονον αὐτίκα Y
λυσσάδες ὠμοβρῶτες ἄδικοι (Ποιναὶ ---> *

sic Wakefield et Wilamowitz
(LP.: λύσσα δέ σ' ὠμόβροτος ἀποινόδικαι δίκαι Y )

* ---> κακοῖσιν ἐκπετασουσιν. Y

Αμ. Ja.+ ἰὼ στέγαι. + Ja. Y

Χο. — κατάρχεται χόρευμα τυμπάνων ἄτερ,
οὐ βρομίῳ κεχαρισμένα θύρσῳ . . .

Αμ. ἰὼ δόμοι.

Χο. πρὸς αἷματ', οὐχὶ τᾶς Διονυσιάδος
βοτρύων ἐπὶ χεύμασι λοιβᾶς.

Αμ. φυγῇ, τέκν', ἐξορμᾶτε. Χο. — δάιον τόδε
δάιον μέλος ἐπαυλεῖται.
κυναγετεῖ τέκνων διωγμόν· οὔποτ' ἄκραντα δόμοισι
Λύσσα βακχεύσει.

Αμ. αἰαῖ κακῶν.

Χο. — αἰαῖ δῆτα τὸν γεραιὸν ὡς στένω
πατέρα τάν τε παιδοτρόφον, ⟨ᾇ⟩ μάταν
τέκεα γεννᾶται.

— ἰδοὺ ἰδού,
θύελλα σείει δῶμα, συμπίπτει στέγη.

Ηρ. ⟨ἔσωθεν⟩ ἢ ἤ· τί δρᾷς, ὦ Διὸς παῖ, μελάθρῳ;
τάραγμα ταρτάρειον, ὡς ἐπ' Ἐγκελάδῳ ποτέ, Παλλάς,
ἐς δόμους πέμπεις.

ΑΓΓΕΛΟΣ

ὦ λευκὰ γήρᾳ σώματ' . . . Χο. ἀνακαλεῖς με τίνα
βοάν; Αγ. ἄλαστα τἀν δόμοισι. Χο. μάντιν οὐχ
ἕτερον ἄξομαι. 912

Αγ. τεθνᾶσι παῖδες. Χο. αἰαῖ. extra m.

Αγ. στενάζεθ', ὡς στενακτά. Χο. δάιοι φόνοι,

δάιοι δὲ τοκέων χέρες· ὤ.

Αγ. οὐκ ἄν τις εἴποι μᾶλλον ἢ πεπόνθαμεν.

Χο. πῶς παισὶ στενακτὰν ἄταν ἄταν
πατέρος ἀμφαίνεις;
λέγε, τίνα τρόπον ἔσυτο θεόθεν ἐπὶ
μέλαθρα κακὰ τάδε,
τλήμονάς τε παίδων τύχας;

Ἐπεισόδιον ε ? 922—1015 Iambi trimetri

## ΣΤΑΣΙΜΟΝ Ε (?)

Χο. Trini iambi et quini anapaesti cantati

— ὁ φόνος ἦν ὃν Ἀργολὶς ἔχει πέτρα
τότε μὲν περισαμότατος καὶ ἄπιστος Ἑλλάδι
τῶν Δαναοῦ παίδων· τάδε δ' ὑπερέβαλε, παρ-
έδραμε τὰ τότε κακὰ . . . τάλανι διογενεῖ κόρῳ. + Ja.

— μονοτέκνου Πρόκνης φόνον ἔχω λέξαι
θυόμενον Μούσαις· σὺ δὲ τέκνα τρίγον', ὦ
δάιε, τεκόμενος, λυσσάδι συγκατειργάσω μοίρᾳ.

— αἰαῖ. τίνα στεναγμὸν
ἢ γόον ἢ φθιτῶν
ᾠδάν, ἢ τὸν Ἅιδα χορὸν ἀχήσω;

— Ja. + φεῦ φεῦ· γ ἴ-
δεσθε, (διάνδιχα κλῇθρα
κλίνεται (ὑψιπύλων δόμων.

— ἰώ μοι· δ
ἴδεσθε δὲ τέκνα πρὸ πατρὸς δ
ἄθλια κείμενα δυστάνου, δ
εὕδοντος ὕπνον δεινὸν ἐκ παίδων φόνου. γ (recitatus?)

— περὶ δὲ δεσμὰ καὶ πολύβροχ' ἀμμάτων γ
ἐρείσμαθ' Ἡράκλειον
ἀμφὶ δέμας (τάδε λαΐνοις ἀνημμέν' ἀ<μφὶ> δ
κίοσιν οἴκων. δ + Ja. γ <LP>

# ΕΞΟΔΟΣ

1039–1041 Iambi trimetri

## ΑΜΟΙΒΑΙΟΝ

Quaterni iambi, 1055, 1069 Dactyli cantati

Αμ. Καδμεῖοι γέροντες, οὐ σῖγα σῖ-
γα τὸν ὕπνῳ γ παρειμένον ἐάσετ' ἐκ-
λαθέσθαι κακῶν; δ

Χο. κατὰ σὲ δακρύοις στένω, πρέσβυ, καὶ
τέκεα δ καὶ τὸ καλλίνικον κάρα. δ + Ja. γ

Αμ. ἑκαστέρω πρόβατε, μὴ
κτυπεῖτε, μὴ βοᾶτε,
μὴ τὸν εὔδι' ἰαύοντα -τα LP
ὑπνώδεά τ' εὐνᾶς
ἐγείρετε. Χο. οἴμοι.
φόνος ὅσος ὅδ' . . . Αμ. ἆ ἆ,
διά μ' ὀλεῖτε. Χο. κεχυμένος ἐπαντέλλει.
Αμ. οὐκ ἀτρεμαῖα θρῆνον αἰ-
άξετ', ὦ γέροντες;
ἢ δέσμ' ἀνεγειρόμενος χαλάσας ἀπολεῖ πόλιν,
ἀπὸ δὲ πατέρα, μέλαθρά τε καταράξει.
Χο. ἀδύνατ' ἀδύνατά μοι. Αμ. σίγα, πνοὰς μάθω·
φέρε πρὸς οὖς βάλω. Χο. εὕδει; Αμ. ναί, εὕδει
ὕπνον γ' ἄυπνον ὀλόμενον, ὃς ἔκανεν ἄλο-
χον, ἔκανε δὲ τέκεα, τοξήρει ψαλμῷ [τοξεύσας].
Χο. στέναζέ νυν— Αμ. στενάζω.
Χο. τέκνων ὄλεθρον— Αμ. ὤμοι.
Χο. σέθεν τε παιδὸς— Αμ. αἰαῖ.
Χο. ὦ πρέσβυ . . . Αμ. σίγα σίγα·
παλίντροπος ἐξεγειρόμενος στρέφεται· φέρε, —⟨αν⟩— Hermann
ἀπόκρυφον δέμας ὑπὸ μέλαθρον κρύψω.
Χο. θάρσει· νὺξ ἔχει βλέφαρα παιδὶ σῷ.
Αμ. ὁρᾶθ' ὁρᾶτε. τὸ φάος ἐκ-
λιπεῖν μὲν ἐπὶ κακοῖσιν οὐ

φεύγω τάλας, ἀλλ' εἴ με καινεῖ πατέρ' ὄντα,
πρὸς δὲ κακοῖς κακὰ μήσεται
πρὸς Ἐρινύων θ' αἷμα σύγγονον ἕξει. LP Ἐρινύσι

Χο. τότε θανεῖν σ' ἐχρῆν, ὅτε δάμαρτι σᾷ
φόνον ὁμοσπόρων ἔμελλες ἐκπράξας
Ταφίων περίκλυστον ἄστυ πέρσας.

Αμ. φυγὰν φυγάν, γέροντες, ἀποπρὸ δωμάτων
διώκετε· φεύγετε μάργον
ἄνδρ' ἐπεγειρόμενον.
~~(ἢ)~~ τάχα φόνον ἕτερον ἐπὶ φόνῳ βαλὼν
ἀν' αὖ βακχεύσει Καδμείων πόλιν. + Ja.

1086–1177 Iambi trimetri

# ΚΟΜΜΟΣ

Trini iambi, quaterni dactyli, anapaesti seni cantati.

Iambi trimetri

Αμ. ὦ τὸν ἐλαιοφόρον ὄχθον ἔχων... δ

Θη. τί χρῆμά μ' οἰκτροῖς ἐκάλεσας προοιμίοις;

Αμ. ἐπάθομεν πάθεα μέλεα πρὸς θεῶν.

Θη. οἱ παῖδες οἵδε τίνες, ἐφ' οἷς δακρυρροεῖς; 1184

Αμ. ἔτεκε μέν ~~(νιν)~~ οὑμὸς ἶνις τάλας, δ
τεκόμενος δ' ἔκανε, φόνιον αἷμα τλάς.

Θη. εὔφημα φώνει. + Ja.

Αμ. βουλομένοισιν ἐπαγγέλλῃ. δ
[vel: — ⏑⏑ — ⏑ ⏑ — ⏑⏑ —]

Θη. ὦ δεινὰ λέξας. + Ja.

Αμ. οἰχόμεθ' οἰχόμεθα πτανοί.

vel:

Θη. τί φῄς; τί δράσας; + Ja.

Αμ. μαινομένῳ πιτύλῳ πλαγχθεὶς

vel:

ἑκατογκεφάλου ⟨τε⟩* βαφαῖς ὕδρας. *Murray

Θη. Ἥρας ὅδ' ἁγών· τίς δ' ὅδ' οὑν νεκροῖς, γέρον;

Αμ. ἐμὸς ἐμὸς ὅδε γόνος ὁ πολύπονος ~~ὃς~~ ἐπὶ
δόρυ γιγαντοφόνον ἦλθεν σὺν θεοῖ-
σι Φλεγραῖον ἐς πεδίον ἀσπιστάς.

Θη. φεῦ φεῦ· τίς ἀνδρῶν ὧδε δυσδαίμων ἔφυ;

Αμ. Ja.+ οὐκ ἂν εἰδείης ἕτερον
πολυμοχθότερον πολυπλαγκτότερόν
τε θνατῶν.

Θη. τί γὰρ πέπλοισιν ἄθλιον κρύπτει κάρα;

Αμ. αἰδόμενος τὸ σὸν ὄμμα
καὶ φιλίαν ὁμόφυλον
αἷμά τε παιδοφόνον. + Ja.

Θη. ἀλλ', εἰ συναλγῶν γ' ἦλθον, ἐκκάλυπτέ νιν.

Αμ. ὦ τέκνον· πάρες ἀπ' ὀμμάτων
πέπλον, ἀπόδικε, ῥέθος ἀελίῳ δεῖξον.

anap.+ βάρος ἀντίπαλον, δακρύοις συναμιλλᾶται,

ἱκετεύομεν ἀμφὶ γενειάδα καὶ
γόνυ καὶ χέρα σὰν προπίτνων, πολιόν τε
δάκρυον ἐκβαλ-ών· ἰὼ παῖ, κατά-
σχε λέοντος ἀγρίου θυμόν, ὡς
βρόμον ἐπὶ φόνιον ἀνόσιον ἐξάγῃ,
κακὰ θέλων κακοῖς συνάψαι, τέκνον. δ +ja.

1214–1426 Iambi trimetri, 1427/8 cf. 1178 sq.

Xo. στείχομεν οἰκτροὶ καὶ πολύκλαυτοι,
τὰ μέγιστα φίλων ὀλέσαντες.
+2 anap.